τῶν ἔξωθεν, ᾐτήσαντο τὴν ἡμῶν μετριότητα σφίσιν ἐπανασώσασθαι τὰς τοιαύτας μονάς, μέντοι γε καὶ ἑτοίμως τὴν τούτων ἐπέρανεν αἴτησιν ἡ μετριότης ἡμῶν· διορίζεται γὰρ ἐν ἁγίῳ πνεύματι διὰ τοῦ παρόντος αὐτῆς σιγιλλιώδους γράμματος ὑποτεταγμένας εἶναι καὶ αὖθις καὶ ἡνωμ[ένα]ς τῇ τῆς Πάτμου μονῇ τὰς δηλωθείσας μονὰς τοῦ τε Ἄλσους καὶ τῶν [Σπο]νδῶν ὀφ[ειλόν]των τῶν ἐν αὐτῇ μοναχῶν ἐπιλαβέσθαι τούτων, μεθ' ὧνπερ ἐκέκτηντο ἄνωθεν δ[ικαίων κ]αὶ προνομίων, καὶ προνοῆ[σαι] τῆς αὐτῶν συστάσεώς τε καὶ βελτιώσεως, ἐφ' ᾧ οἱ [ἐν α]ὐταῖς μοναχοὶ ὑποκύψουσι τοῖς ἐκ τῆς Πάτμου ἐπειλημμένοις τῶν τοιούτων μονῶν. [εἰ δ]ὲ ἀντιστήσεταί τις αὐτοῖς ὑφορώμενος, μὴ ὡς ἀπειθὴς ἐκεῖθεν ἀπελαθήσε[ται. παρ]εγγυώμεθα δὲ καὶ πᾶσι τοῖς ἐν γειτόνων οὖσι ταύταις δὴ ταῖς μοναῖς, ἵν', ἐάν τις . . . . . . πρᾶγμά τι αὐτῶν ἀφεῖλετο, εὐγνωμόνως ἀποδώσῃ αὐτὸ βεβαίως εἰδ[ώς, εἰ ἀδίκως τοῦ]το κατεῖχεν, ἐπὶ κρίματι κατέχων ἣν ἑαυτοῦ π[άντως] ὁ τὰ ἀφιε[ρωθέντα νοσφισάμενος] πράγματα ἱεροσυλίας [ἐγκλή]ματι περιπίπτει καὶ τὸ τοῦ ἐπιτιμίου βάρος . . . . . . . . . . . . . . . . τοῖς τοιούτοις ἐπαπειλ[ήσεως] ἐπιλήψονται . . . . ὡς δε[ . . . . . . . . . . . τ]ῶν δύο τούτων μονῶν καὶ ὡς ἰδίων αὐτῶν ἐπιμεληθήσοντ[αι . . . . . . . . . . . . . . . .], ὡς διὰ τοῦτο δέδονται [τού]τοις αὗται, ὡς ἂν καὶ οὗτοι βοηθῶσιν αὐτ[αῖς καὶ εἰς βελτί]ωσιν αὐτῶν καὶ] σύστασιν ἐπισπεύδωσιν. ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν σιγιλλιῶδες γράμ[μα τῆς ἡμῶν μετριότητος τῇ] κατ' αὐτοὺς ταύτῃ σεβασμίᾳ βασιλικῇ καὶ πατριαρχικῇ μονῇ τοῦ [ἐν] ἀποστόλοις ἠγαπημ[ένου τῷ σωτῆρι Χριστῷ καὶ Θεολόγου] κατὰ μῆνα μάρτιον ἐπιδέδοται τοῦ [ἑξακ]ισχιλ[ιοστοῦ ἑπτακοσιοστοῦ . . . . . . . . . . . . . . ἔτους, ἰνδικτιῶνος . . . †]

† Ἀθανάσιος, ἐλέῳ θεοῦ [ἀρχιεπίσκοπος Κων]σταντινουπόλεως, Νέας [Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης. †]

*Archetyp. membranaceum. Flor. II. nro 27. Athanasius sedem patriarchalem tenuit ab anno 1289 usque ad annum 1304 atque iterum insequenti anno 1305.*

## CIV. Sine anno et mense.

*Testamentum abbatis Sabbae.*

*Initium deest.*

. . . . . . . . . . . . . . . . . . . . . . . ὅπερ βιβλίον . . . . . . . . . . . . . . ἰδοῦν, ἔστω ἐν τῇ μονῇ. ἕτερον βιβλίον σωματῶον ἔχον . . . εὐαγγέλιον . . . . . . . ἕτερον βιβλίον σωματῶον ἔχον εὐαγγέλιον καθημερινὸν . . . . . . . . καὶ τὰς προφητείας τοῦ ὅλου χρόνου. ἕτερον βιβλίον βαμβακηνὸν ἔστω ἐν τῇ μονῇ



Ε.Υ.Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

. . . . . . . Διονυσίου τοῦ Ἀρεοπαγίτου ἐν . . . μετὰ σχολίων, ἔχον καὶ τοῦ Δαμασκηνοῦ βιβλία δύο, τὴν φιλοσοφίαν . . . . κεφάλαια, τοῦ προ[φήτου Ἡσαΐου] τὰς ὁράσεις . . . . . . καὶ τὰ Ἀσκητικὰ τοῦ Μ. Βασιλείου. ἕτερον βιβλίον σω-[ματῶ]ον ἔχον τοῦ Νύσσης βιβ[λία] δύο . . . . . . . μεθ' ἑρμηνείας εἰς τὰ ἀπορούμενα . . . . . . καὶ τῶν λοιπῶν . . . κεφάλαια. ἕτερον βιβλίον . . . . . . . . . . ἕτερον βιβλίον σωματῶον . . τέσσαρα. πατερικὸν τῆς Εὐεργέτιδος. ἕτερον βιβλίον βαμβακηνὸν ἔχον τοῦ . . . . . . . . κδ', οὓς συνέταξεν [ὁ] μάγιστρος κῦρις Λέων ὁ Μεταφραστής, ἔχον καὶ τοῦ Χρυσοστόμου τὰ πρὸς . . . . . . . ., τὰ πρὸς Σταγείριον, [τὰ πρὸς Θεόδωρον], ἐκπεσόντα, τὰ ἀντίγραφα Θεοδώρου καὶ ἀπὸ τῶν ἠθικῶν αὐτοῦ διαφόρους λόγους. ἕτερον βιβλίον βαμβακηνὸν ἔχον τὸ πατερικὸν ἤγουν τὸ κατὰ στοιχεῖον καὶ τὸ δεύτερον τούτου . . . . . . πατερικόν, ὡσαύτως καὶ τοῦ κυροῦ Μάρκου. ἕτερον βιβλίον βαμβακηνὸν ἔχον ἐν ἐπιτομῇ τοὺς βίους καὶ τὰ μαρτύρια τῶν ἁγίων πάντων τοῦ ὅλου ἐνιαυτοῦ. ἕτερον βιβλίον σωμα[τῶον ἔχον . . . . .] τὸν ἅγιον Νεῖλον, τὸν ἅγιον Ἰσαὰκ καὶ τὸν ἅγιον Δωρόθεον καὶ τοῦ ἁγίου Μάρκου τὰ κεφάλαια. ἕτερον βιβλίον βαμβακηνὸν ἔ[χον . . . . . . . . .] μετὰ σχολίων. ἕτερον βιβλίον βαμβακηνὸν [ἔχον . . . . . . . . . ὀρθοδόξους καὶ αἱρετικὰς τὰς κατὰ συγχώρησιν θεοῦ ὑπὸ τῶν Ἀρειανῶν γενομένας. ἔχει δὲ καὶ τὰ . . . . . . τινὰς ἐπιστολὰς οἰκουμενικὰς θείων πατριαρχῶν. ἕτερον βιβλίον σωματῶον ἔχων τὰ δύο βιβλία τὰ κατὰ Ἰω . . . . . ἔχον τὴν ἐκκλησιαστικὴν ἱστορίαν. ἕτερον βιβλίον σωματῶον λιτὸν ἔχον τοῦ ἁγίου Μαξίμου τὰς δογματι[κὰς . . . . . . . . . ἐκ]κλησιαστικὴν ἱστορίαν. ἕτερον βιβλίον σωματῶον μηναῖον παλαιὸν ἔχον μῆνας ἕξ. ἕτερον βιβλίον σωματ[ῶον] . . . . . . . . ἕτερον σωματῶον ἔχον μάρτιον, ἀπρίλιον καὶ μάιον. ἕτερον ὁμοίως ἔχον ἰούνιον, ἰούλιον καὶ αὔγουστον. ἕτερον βιβλίον σ[ωματῶον ἔχον τὴν Ὀκτώ]ηχον ἤγουν τὰ στιχηροκαθίσματα καὶ ἑκάστῃ ἡμέρᾳ καθίσματα τρεῖς καὶ τῶν παννυχίδων τῶν ἀγρυπνιῶν τῶν ὀκτὼ ἤχων . . . . . . . ἕτερον βιβλίον βαμβακηνὸν ἔχον τοὺς δώδεκα μῆνας, τὰ μηναῖα ἔχον καὶ τὰ κοντάκια καὶ τὰ ἐξαποστειλάρια τῶν ἐπισή[μων ἑορτῶν. ἕτε]ρον βιβλίον βέμβρανον τὸ Τριῴδιον, ἅτινα τρία βιβλία ἤγουν τὴν Ὀκτώηχον, τὰ Μηναῖα, τὸ Τριῴδιον, τὸ Εὐαγγέλιον, τὸν Ἀπόστολον καὶ τὰς Προφητείας ἐπαφίημι εἰς τὸν Ἀσώματον, ἵνα ψάλλῃ ὁ μέλλων παραμένειν ἐκεῖσε. ἕτερον βιβλίον βαμβακηνὸν ἁπάσης Γραφῆς συναθροισθὲν καὶ οἰκείως καὶ προσφόρως ἐκτεθὲν εἰς ὠφέλειαν τῶν ἐντυγχανόντων. περιίσταται δὲ εἰς ἑξήκοντα καὶ τρεῖς λόγους. ἕτερον βιβλίον βαμβακηνὸν ἔχον τὰ ἐξαποστειλάρια τοῦ ὅλου ἐνιαυτοῦ καὶ τῆς σαρακοστῆς. ἕτερον βιβλίον σωματῶον ἔχον τὸν Πρόχειρον νόμον, ἤγουν σύνοψιν συνόψεως. ἕτερα τετράδια

σωματῶα ἔχοντα τὴν Ἀποκάλυψιν τοῦ Θεο[λόγου] ἑρμηνευμένην διὰ σχολίων, τὸν Ἐκκλησιαστὴν καὶ τὸ Ἆισμα τῶν ᾀσμάτων, καὶ αὐτὰ διὰ σχολίων. ἕτερα τετράδια βαμβακηνὰ ἔχοντα κεφάλαια Ἰωάννου τοῦ Καρπάσου ςιϛ' καὶ ἕτερα κεφάλαιά τινων ἁγίων καὶ ἕτερα τετράδια ἔχοντα Ἰατρικά. κρεβάτια τορνευτὰ συμβαλτὰ ϛ'. σκαμνία τορνευτὰ ιβ'. ἐξ ὧν τὰ μὲν τέσσαρα ἔστωσαν ἐν τῷ ναῷ τοῦ Ἀσωμάτου, τὰ δὲ τέσσαρα ἐν τῷ ναῷ τοῦ Προδρόμου, τὰ δ' ἕτερα, ἔνθα δόξῃ τῷ ἡγουμένῳ. θρόνια συμβαλτὰ δύο. τραπέζ[ια] συμβαλτὰ δ'. μί..γ'.. χερνιδόξιστα δ'. ἐσχάρα σιδηρᾶ. πυρωστίαι δύο. ταῦτα πάντα ἀνατίθημι τῷ θεῷ καὶ τῷ ἠγαπημένῳ χάριν ψυχικῆς μου σωτηρίας ἕνεκα καὶ λόγῳ ἀναπαύσεως ἐμοῦ τε καὶ τῶν μαθητῶν μου, ζῶντός μοῦ τε καὶ μετὰ θάνατον, οἵγε καὶ αὐτοὶ φυλάξωσι τὴν ἐντολήν μου καὶ προσμείνωσιν ἐν τῇ μονῇ ἄχρι τέλους ζωῆς αὐτῶν καὶ φυλάξουσιν εἰς τὸν καθηγούμενον ταπείνωσιν καὶ ὑποταγὴν καὶ σέβας καὶ εἰς τοὺς λοιποὺς γέροντας . . . καὶ ἴσην τιμὴν εἴς τε τὸν τίμιον γέροντα κῦριν Νεόφυτον, τὸν μοναχὸν κῦριν Γρηγόριον καὶ τὸν μοναχὸν κῦριν Λαβρέντιον καὶ εἰς πάντας τοὺς ἀδελφοὺς ἀγάπην καὶ διάθεσιν καὶ ὁμόνοιαν ἐπ' ἀγαθῷ καὶ στοργὴν ἀδελφικήν. καὶ εἰ ταῦτα οὕτως τηρηθεῖεν, ἄξιοι ἔστωσαν καὶ τιμῆς καὶ ἀγάπης καὶ διαθέσεως ἀληθοῦς. καὶ οὐ λέγω ταῦτα πρὸς τὸν δεῖνα ἢ τὸν δεῖνα, τοὺς μαθητάς μου, ὥς τινες λέγουσιν, ἀλλ' ὅσοι ἂν μετὰ φόβου θεοῦ καὶ πάσης ἀληθείας ἐξ ἴσου μοι τὸν ἑαυτῶν λογισμόν, οὐ μόνον μαθηταί μου καὶ γνήσια τέκνα ἔστωσαν, ἀλλὰ καὶ ἀδελφοὶ καὶ πατέρες, οἵγε τὰς ἐντολὰς τοῦ θεοῦ φυλάξουσιν καὶ τὰς ἐμὰς εὐτελεῖς καὶ οὐδαμινὰς παραγγελίας διὰ τὴν τοῦ θεοῦ ἀγάπην. λέγω δὴ τὸ προσμένειν ἐν τῇ μονῇ ἄχρι ὑστάτης ἀναπνοῆς καὶ ἔχειν εἰς τὸν καθηγούμενον τιμὴν καὶ ὑποταγὴν καὶ εἰς πᾶσαν τὴν ἀδελφότητα διάθεσιν καὶ ἀγάπην, εἰρήνην καὶ ὁμόνοιαν. εἰ οὕτως ἔχει, ἐγγύας τίθημι τῷ θεῷ, ὡς οὐ ζητηθήσεται ἐξ αὐτῶν ἁμαρτία παρὰ θεῷ, κἂν ὡς ἄνθρωποι ἐλαττωματίτζιά τινα καὶ σφαλματίτζια περιπίπτουσιν, εὐθὺς ἐπιγνώμονες καὶ αὐτοὶ τούτων γενήσονται καὶ τὴν μετάνοιαν ἀσπάσονται, ἐξ ἐμοῦ ὁ θεὸς ταῦτα ἀπαιτήσειεν καὶ λόγους ὑπὲρ αὐτῶν ὑφέξω καὶ κολασθήσομαι ἀντ' αὐτῶν, οἵγε προσμείνωσιν ἐν τῇ μονῇ ἄχρι θανάτου. οἱ δέ γε, ὅπερ ἀπεύχομαι, εἰς πτῶμα περιπέσητε ἀδιόρθωτον καὶ ἀμετανόητον, ἄδειαν ἐχέτω ζητεῖν τὴν αὐτοῦ σωτηρίαν, ὅπου καὶ βούλεται, καὶ μᾶλλον συνεργοὺς ἐχέτω εἰς . . . . . . . . . . . . . . αὐ]τὸν ἐξελαύνειν διὰ τὸ ἀνάτρεπτον καὶ ἀδιόρθωτον, ἵνα μὴ τῆς οἰκείας κακίας μεταδώσῃ καὶ τοῖς ἀδελφοῖς. καὶ ταῦτα μὲν οὕτως· ἐπειδὴ δὲ ἐπέκεινα τῶν προγραφέντων ἁπάντων ἀνατεθειμένα δέδωκα εἰς τὴν μονὴν νομίσματα δύο χιάτα καὶ ὑπὲρ ἐξόδων τινῶν νομίσματα ταῦτα ὑπὲρ ἐξωνήσεως πιθαρίων . . . . . .

ὑπὲρ ἐξωνήσεως μαγαρικῶν νομίσματα δύο κομνηνάτα, ὑπὲρ ἐξωνήσεως σανιδίων νομίσματα τέσσαρα κομνηνάτα, ὑπὲρ ἐξωνίσεως πίσσης νομίσματα δύο κομνηνάτα, ὑπὲρ ἐξωνήσεως κεραμιδίων νομίσματα δύο, ὑπὲρ ἐξωνήσεως γύψου νόμισμα ἕν. εἰς τὴν πόλιν ὑπὲρ φυτείας νομίσματα κε΄ χινάτα. εἰς τὸν Ἀσώματον ὑπὲρ τῶν τροχάλων καὶ τῶν κυλισμάτων καὶ τῆς ἐξωνήσεως τοῦ οἴκου καὶ τοῦ φραγμοῦ νομίσματα κβ΄, καὶ ὑπὲρ οἰκοδομὴν τῆς ἐκκλησίας νομίσματα κβ΄ χωρὶς τῶν παρεκτὸς τὸν κτίστην ὑπὲρ τῶν δύο μηνῶν τοῦ τε ἡλίου (sic) καὶ τοῦ αὐγούστου νομίσματα ὀκτὼ χινάτα. ἐπεὶ δέ, ὡς ὁ θεὸς μαρτυρεῖ καὶ ἡ ἀλήθεια, οὐκ ὀλίγα κοπιάσας καὶ ἀγωνισθεὶς εἴς τε τὰ τῶν κελλίων οἰκοδομήματα τά τε ἔμμαζα καὶ τὰ ἄλλως καὶ εἰς αὐτὴν τὴν ἐκκλησίαν καὶ εἰς τὰ ἔξωθεν πάλιν εἴς τε τὴν ληνὸν καὶ τῆς ἀποθήκης τὰ κελλία αὐτοὺς ὑμᾶς προβάλλομαι μάρτυρας, οὔγε τὴν ἀλήθειαν βούλεσθε ὁμολογεῖν, ἀλλὰ καὶ αὐτὰ τὰ πράγματα ἀριδήλως διδάσκουσιν. καὶ εἰς τὸ οὐδαμηνὸν (sic) σιγιλλοχρυσόβουλλον τοῦ ἀοιδίμου καὶ ἀειμνήστου βασιλέως κυροῦ Ἀλεξίου τοῦ λαμβάνειν ἐτησίως ἀπὸ τῆς Κρήτης σίτου μόδια τριάκοντα καὶ νομίσματα κδ΄, ἢ τάχα καὶ ἡμεῖς, πολλὰ βιάσαντες τοῦτον ὁ . . . [ἐ]κεῖνα τῆς δόσεως ταύτης οὐκ ἐπένεμεν [τ]ούτῳ, ὅμως ὡς ὁ θεὸς εὐδόκησεν καὶ ὁ ἠγαπημένος τούτῳ καὶ . . . εν καὶ λαμβάνει ταῦτα ἡ μονὴ θεοῦ χάριτι. καὶ . . . . τοῦτο πολλὰ πίστευσαι, ἐκοπίασα καὶ ἠγωνίσθην καὶ ἐκενοτομήθην. καὶ ἐπειδὴ πολλὰ συνεκοπία ὑμῖν καὶ ὑπερεκοπίασα πλίονα ὑμῶν, ὡς ἡ ἀλήθεια μαρτυρεῖ, βούλομαι κἀγὼ φυλαχθῆναι τὰς ἐμὰς ἐπισκέψεις τοῦ εἶναι εἰς τὸν Ἀσώματον ἀδελφοὺς δύο, ἕως οὗ συνίσταται ἡ μονή, καὶ τανῦν μὲν εἶναι τόν τε μοναχὸν Λουκᾶν καὶ τὸν μοναχὸν Θεόκτιστον, ὡς πολλὰ κοπιάσαντας καὶ αὐτοὺς ἐν αὐτῷ, τὸν μέν, ἵνα ἡσυχάζῃ καὶ ψάλλῃ τὸ εὐκτήριον, δῆλον ὅτι τὸν μοναχὸν Θεόκτιστον, τὸν δὲ μοναχὸν Λουκᾶν ἐκδουλεύειν τὸ περιβολίτζιν καὶ τὸν κηπίτζιν καὶ τὰ λοιπά, ἔχειν δὲ ἐν τοῖς ἀναγκαίοις καιροῖς καὶ πράγμασιν τὸν μοναχὸν Θεόκτιστον συναντιλαμβανόμενον καὶ τοῦτον ἐν ταῖς περιστάσεσιν, ταῖς δὲ λοιπαῖς ἡμέραις ἡσυχάζειν, καθὼς βούλεται, καὶ ψάλλειν τὴν ἀκολουθίαν αὐτοῦ καὶ τὸ εὐκτήριον, καθὼς ὁ καιρὸς ἀπαιτεῖ, ἔχειν δὲ καὶ αὐτοὺς εἰς τὸν ἡγούμενον ὑποταγὴν καὶ ταπείνωσιν καὶ εἰς πάντας τοὺς ἀδελφοὺς ἀγάπην καὶ διάθεσιν καὶ μη[κέ]τι οὖν πίπτοντες ἢ ἀποσχίζοντες ἑαυτοὺς τῆς ἀδελφότητος αὐτοί τε καὶ οἱ μετ᾿ αὐτούς. μετὰ δὲ τὴν τούτων παρέλευσιν οἱ μέλλοντες προσκαθέσεσθαι ἐν τῷ εὐκτηρίῳ τοῦ θεοῦ ἐκδουλεύειν καὶ ψάλλειν, ἵνα ἐστὶν ἐξάπαντος ὁ εἷς γραμματισμένος διὰ τὸ ψάλλειν τὴν ἐκκλησίαν, ἔχειν δὲ καὶ τὸν ἡγούμενον καὶ τοὺς ἀδελφοὺς πρὸς αὐτοὺς ἀγάπην καὶ διάθεσιν, τὸν μὲν ἡγούμενον πατρικήν, τοὺς δὲ ἀδελφοὺς ἀδελφικήν, καὶ μηδὲ εἰς ὁτιοῦν

γογγύζειν τούτους καὶ ἀποκρατεῖν τῆς ἴσης χρείας πάσης τῆς ἀδελφότητος, καθὼς δὲ καὶ προέγραψα περὶ τῶν βιβλίων, ὧν ἀφιέρωσα εἰς τὸν Ἀσώματον, ἵνα μένωσιν ἀπαράθραυστα, ἔχειν δὲ καὶ τὸν μοναχὸν Θεόκτιστον τὸ Πατερικὸν τὸ βαμβακηνὸν εἰς πᾶσαν αὐτοῦ ἐξουσίαν, ἕως ἂν ἐν τοῖς ζῶσιν ἐστὶν καὶ προσμένῃ ἐν τῇ μονῇ. ἐπειδὴ δὲ διέλαθεν ἡμᾶς τινα καὶ οὐ κατέθησαν εἰς τὴν ἰδίαν ἀκολουθίαν, ἀνατάττωμεν αὐτὰ νῦν, οἷον χαλκοστάμνιν, καρδάριν μετὰ ἐπιχύτου καὶ σαπουνίου, μουχρούτια, γαβάδια δώδεκα καὶ σκουτάλια δώδεκα, ὑάλινα γαβαδίτζια δύο καὶ ἓν μέγαν πινάκιν καὶ σκουτέλιον ὑάλινον βένετον, κουρούπια τρανὰ ὑάλινα τρία καὶ βίκη μεγάλα τε καὶ μικρά, βικοθήκη μετὰ τῶν βικίων αὐτῆς, ποτήρια μικρά τε καὶ μεγάλα, οἷα καὶ ὅσα εἰσίν. καὶ περὶ μὲν τούτων ἕως ὧδε, περὶ δὲ τῶν κρεβατοστρωσιτζίων μου, ἵνα εἰσὶ τρία κρεβατίτζια εἰς τὴν τῶν εἰσερχομένων καὶ ἐξερχομένων ξένων ἀνάπαυσιν καὶ ἵνα εἰσὶν . . . . ὑπαπλώματα τὰ βαμβακηνὰ καὶ τὸ ἓν ἡ τζόχα ἢ τὸ κοκκουλάρικον, ἔνδυμα ἔχουσα εἰς τὸ καθένα, τὰ δὲ δύο καθαρομέταξα ἐπαπλώματα, ἵνα φυλάσσονται καὶ ὅτε εἰσέλθῃ ἀξιόλογος ἄνθρωπος νὰ ἔχουσιν ταῦτα εἰς χρῆσιν αὐτῶν. καὶ ταῦτα μὲν οὕτως. ἕως δὲ ὁ παρὼν βίος ἄστατος καὶ ἀνώμαλος καὶ ἀλληνάλλως τῶν πραγμάτων αἱ περιστροβήσεις γινόμενα καὶ ἀπογινόμενα . . . μὴ δῴη κύριος ὁ θεός, μετὰ τὴν τοῦ καθηγουμένου παρέλευσιν καὶ τῶν τριῶν γερόντων, τοῦ τε τιμιωτάτου γέροντος κυροῦ Νεοφύτου καὶ τοῦ μοναχοῦ κυροῦ Λαβρεντίου καὶ τοῦ μοναχοῦ κυροῦ Γρηγορίου, ὅπερ ἀνεύχομαι, γενήσε[ται καθ]ηγούμενος ἀνατρέπων τοὺς τύπους τῆς μονῆς, τῆς θεογενοῦς τῆς ἐκκλησίας καταλύων τάς τε ἀγρυπνίας, στιχολογίας καὶ ἀναγνώσεις καὶ τὰ λοιπὰ πάντα ἀνατρέπων, ταράσσων καὶ τοὺς ἀδελφοὺς καὶ κατ᾽ ἐμπάθειαν τούτους πολεμῶν ἢ ἐκδιώκων, ἵνα πάντων τῶν ἀδελφῶν ἑνουμένων καὶ ὁμοτονούντων ἐκδιώκον τοῦτον ἄκοντα καὶ μὴ βουλόμενον τῆς μονῆς καὶ τοὺς αὐτὸν ἀντιλαμβάνοντας, ποιεῖν δέ, ὅστις ἂν τὴν αὐτοῦ ψυχὴν τίθησιν ὑπὲρ τῶν ἀδελφῶν καὶ ἀγαπῶν αὐτοὺς ὡς τέκνα γνήσια καὶ τῶν ἀσθενῶν αὐτῶν ὡς ἰδίων ἀντιλαμβανόμενος καὶ περὶ μὲν τούτων πάντων ἀδελφικῶς ἅμα καὶ πατρικῶς παραινῶ καὶ παρακαλῶ διατηρηθῆναι καὶ διαφυλαχθῆναι τὰ παρ᾽ ἐμοὶ διατυπωθέντα. τὰ δὲ περὶ τῆς ἐκκλησίας διατυπωθέντα καὶ παραδοθέντα κατὰ τὴν τοῦ τυπικοῦ περίληψιν δεσμὸν ἀσυγχώρητον καθυποβάλλομαι ἀπὸ τῆς ζωοποιοῦ καὶ ἀδιαιρέτου τριάδος καὶ ἀπὸ τῶν θείων ἀποστόλων καὶ τῶν ἁγίων πατέρων τοῦ εἶναι κεχωρισμένον καὶ αὐτῆς τῆς εἰσόδου τῆς θείας ἐκκλησίας τὸν βουληθέντα ἢ παραθραῦσαί τι τοῦ τυπικοῦ καὶ ἔστω ἡ μερὶς αὐτῶν μετὰ τῶν κραζόντων· ἆρον, ἆρον, σταύρωσον τὸν υἱὸν τοῦ θεοῦ. καὶ περὶ μὲν τούτων ἕως ὧδε. ἐπεὶ δὲ διέλαθεν ἡμᾶς

τὸ ὡρολόγιον τὸ χαλκοῦν τῆς τε ἡμεροῦ καὶ νυκτὸς καὶ οὐκ ἐτέθη εἰς τὴν ἰδίαν τάξιν, διὰ τοῦτο μνημονεύομεν αὐτὸ ἐνταῦθα. κουρσάπιν ὑάλινον θηρικοῦ ὡς ἐξαγίων πεντήκοντα ἢ ἔλαττον· καὶ ἕτερα ἱερά. †

† Σάβας, ὁ εὐτελὴς μοναχὸς καὶ καθηγούμενος τῆς ἐν τῇ νήσῳ Πάτμῳ σεβασμίας μονῆς τοῦ ἠγαπημένου Θεολόγου τὰ ἀνωτέρω πάντα ἐπιβεβαιῶν ὑπέγραψα οἰκείᾳ χειρί. †

† Σίγνον μοναχοῦ Νεοφύτου, τοῦ γενομένου ἡγουμένου τῆς αὐτῆς μονῆς, τὰ ἀνωτέρω πάντα ἐπιβεβαιῶν οἰκείᾳ χειρὶ ὑπέγραψα. †

† Σίγνον μοναχοῦ Γρηγορίου καὶ οἰκονόμου τῆς αὐτῆς μονῆς τὰ ἀν[ωτέρω πάντα ἐπιβεβαιῶν] οἰκείᾳ χειρὶ ὑπέγραψα. †

† [Σίγνον μοναχοῦ Λαυρεντίου καὶ . . . . . .] τῆς αὐτῆς μονῆς τὰ ἀνωτέρω πάντα ἐπιβ[εβαι]ῶν οἰκείᾳ χειρὶ ὑπέγραψα. †

*Archetyp. chartac. Flor. II. nro 14. Scriptum exeunte saec. XIII. aut ineunte saec. XIV. Sub nro 15 exstat* καταγραφὴ τῶν τε ἱερῶν εἰκόνων, ἁγίων λειψάνων, χρυσῶν καὶ ἀργυρῶν σκευῶν καὶ τῶν βιβλίων τῆς μονῆς. ἐν τῇ ἀρχῇ ἔχει οὕτως· κώδηξ σὺν θεῷ τῆς σεβασμίας τοῦ ἠγαπημένου τῷ Χριστῷ Θεολόγου μονῆς τῆς Πάτμου, γεγονὼς ἐπὶ τῆς ἡγουμενίας τοῦ πανοσιωτάτου πατρὸς ἡμῶν, μοναχοῦ κυροῦ Ἀρσενίου κατὰ μῆνα σεπτέμβριον, ἰνδικτιῶνος δ', τοῦ ͵ςψθ' ἔτους. *Fl.*

## CV. Sine anno, mense octobri, ind. IV.

*Imperator praecipit Georgio Balsamoni, duci insulae Coi, ut tueatur iura monasterii Alsi contra episcopum insulae.*

† Γραμματικὲ τῆς βασιλείας μου, δοὺξ τῆς νήσου Κῶ, Γεώργιε Βαλσαμών. οἱ μοναχοὶ τῆς αὐτόθι σεβασμίας πατριαρχικῆς μονῆς τῆς εἰς ὄνομα τιμωμένης τῆς πανυπεράγνου μου δεσποίνης καὶ θεομήτορος καὶ ἐπικεκλημένης τοῦ Ἄλσους ἀνέφερον, ὅτι περιφρονούμενοι παρὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς τοιαύτης νήσου οὐκ ὀλίγην ἐπίθεσιν καὶ καταδυναστείαν εὑρίσκουσιν ἐξ αὐτοῦ. ἐκράτησε γὰρ τρόπῳ ἀμετόχῳ καὶ πλεονεκτικῷ τὸ ὕδωρ τοῦ οἰκείου περιβολίου, χωράφιον τὸ ἔμπροσθεν τῆς πύλης τῆς τοιαύτης μονῆς, ἕτερον ἐπιλεγόμενον τῶν Δύο Πετρῶν καὶ λίμνην, ἅ τινα εἰσὶν ἀνέκαθεν τῆς τοιαύτης μονῆς, παραδεδομένα πρὸς αὐτὴν δι' ἀπογραφικῶν ἀποκαταστάσεων καὶ ἑτέρων διαφόρων παλαιγενῶν δικαιωμάτων· ὁμοίως ἐπάγει εἰς αὐτοὺς καὶ ἕτερα ἐπιβαρῆ καὶ ἐπιζήμια οὐκ ὀλίγα, ὑπὲρ οὗ καὶ ἐδεήθησαν τῆς βασιλείας μου. εἴπερ γοῦν ἔχει

οὕτω τὸ ἀληθές, τίνα λόγον ἔχει ὁ τοιοῦτος ἀρχι[ερεὺ]ς καὶ κατεπεμβαίνει καὶ καταπλεονεκτεῖ τῶν τοιούτων μοναχῶν, ἐφ' οἷς οὐκ ἔχει δίκαιον; διὰ τί, εἴπερ ἐγνώρισας τοῦτο, οὐδὲν ἐδεφένδευσας αὐτοὺς ἀπὸ τῆς τοιαύτης καταδυναστείας, ὡς δοὺξ τῆς τοιαύτης νήσου; ἡ βασιλεία μου διορίζεταί σοι, ὡς ἂν ἀναδέξῃ τοὺς τοιούτους μοναχοὺς καὶ βοηθήσῃς αὐτοῖς κατὰ τὸν τοῦ δικαίου λόγον, καὶ οἰκονομήσῃς, ὥστε μὴ ἀδικεῖσθαι εἰς ἔτι ἐπὶ τοῖς εἰρημένοις χωραφίοις τε [καὶ ὕ]δατι καὶ τῇ λίμνῃ αὐτῶν, ἀλλὰ κατέχειν ἀνενόχλητα αὐτοὺς κατὰ τὰς περιλήψεις τῶ προσόντων αὐτοῖς δικαιωμάτων ἐπιφωνησάμενος πρὸς τὸ μέρος τοῦ δηλωθέντος θεοφιλεστάτου ἐπισκόπου, ἵνα ἀρκῆται εἰς τὸ οἰκεῖον δίκαιον καὶ ἀπέχῃ τέλεον τοῦ καταδυναστεύειν τῶν τοιούτων μοναχῶν, καὶ ποίησον κατὰ τὸν παρόντα ὁρισμόν, ὃν καὶ ἀντίστρεψον πρὸς αὐτοὺς δι' ἀσφάλειαν. μηνὶ ὀκτωβρίῳ ἰνδικτιῶνος δ'. †

*Archetyp. chart. Flor. nro 72. Tabula tribuenda videtur imperatori Andronico II. et anno 1305 (6814)*

## CVI. Sine anno et mense.

*Zoe Ducaena Philanthropene tuetur iura et possessiones monasterii.*

† Ἐπεὶ οἱ παρόντες μοναχοὶ οἱ ἀπὸ τῆς Πάτμου ἐκατέλλαβον πρός με διά τινας δουλείας τῆς μονῆς, ἀνέφερόν μοι, ὅτι ἀδικεῖται τὸ μοναστήριον, τὰ μετόχια καὶ οἱ πάροικοι, καὶ ἀκούσασα ταῦτα οὐκ ἐδεξάμην αὐτὸ νὰ ἀδικῆται τὸ μοναστήριον καὶ τὰ μετόχια καὶ οἱ πάροικοι τοῦ μοναστηρίου ἀπό τινος ὀχλήσεως ἢ ζημίας τὸ τυχόν, γράφω δὲ καὶ ἐγὼ Δούκενα ἡ Φιλανθρωπηνὴ μετὰ τὸν ὁρισμὸν καὶ τὸ θέλημα τοῦ αὐθέντου μου τοῦ ἀνδρός μου πρὸς τοὺς τῶν αὐτόθι κεφαλατικεύοντα τῆς χώρας, οἶος ἄρα καὶ ἔνι εὑρισκόμενος τὸ κατὰ καιρόν, ἐνοχοποιοῦντες τῶν αὐτόθι ἤτε ἀντραδελφός μου ἤτε συγγενὴς τοῦ αὐθέντου μου τοῦ ἀνδρός μου ἤτε ἄνθρωπός μου, οἶος ἄρα καὶ ἔνι τὸ κατὰ καιρὸν τῶν αὐτόθι κεφαλατικεύοντα ἤτε πολλάκις, ἀπὸ τὴν χώραν, νὰ οὐκ ἔχει ἄδειαν τιναν τοῦ ὀχλῆσαι τὰ παρόντα μετόχια τοῦ μοναστηρίου, ἀλλὰ δὴ καὶ τοὺς οἱ παροίκους, μήτε ἀμπέλια, μήτε χωράφια, μήτε δένδρα, μήτε ζῶα τοῦ μοναστηρίου ἢ τῶν οἱ παροίκων, νὰ μὴ ἔχει τὶς ἐπαδείας τοῦ ὀχλῆσαι ταῦτα, εἴ τι ἄρα καὶ ἔνι. εἰ δὲ καὶ συμβῇ νὰ γένηται ζημία καὶ μαρτυρηθῇ εἰς τὸ πρᾶγμαν τοῦ μοναστηρίου καὶ τῶν οἱ παροίκων ὁ εὑρισκόμενος κεφαλατικεύων τὸ νησίον νὰ ἐξετάζῃ τὴν ὑπόθεσιν μετὰ καὶ μαρτυρίας, νὰ ἐκδικαιώνῃ τὸ μοναστήριον ἤτε τὸν ἕτερον εἴ τις ηὑρέθη καταδικος. εἰ δὲ καὶ σὺ δὲν ἐκπληρώνῃ τοῦτο

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Εγγ. Δ της Κ. Π. ΙΩΑΝΝΙΝΑ 2006

μέχρι καὶ τοῦ δικαίου, νὰ κρίνεται ἔμπροσθέν μου ὡς ἀθετὴς τοῦ ἡμετέρου γράμματος. καὶ ἂς ἐκτηρῆται ἡ περίορος τοῦ μοναστηρίου καὶ τῶν οἱ παροίκων ἀπὸ τῆς χώρας ἀνενόχλητα ἤτε ἀμπέλια, ἤτε χωράφια, ἤτε κινητὰ ἤτε ἀκίνητα πράγματα τοῦ μοναστηρίου, δένδρα καρπίσιμα καὶ ὅσα ἐντὸς τοῦ περιόρου τοῦ μοναστηρίου καὶ τῶν οἱ παροίκων, νὰ μένωσιν ταῦτα ἀνενόχλητα, νὰ οὐκ ἔχῃ τις ἐπ' ἀδείας τοῦ εἰπεῖν αὐτὰ τὸ τυχόν. ὅτι ἐγὼ οὕτως τὸ ὁρίζω, ὅτι νὰ μένωσιν ἀνενόχλητα ἀπὸ παντοίας ἐπηρείας καὶ ὀχλήσεως. ὅτι ἐγὼ εὐχὴν τοῦ μοναστηρίου χρῄζω, οὐχὶ δὲ ζημίαν, καὶ ἀποδέχομαι τοῦ προσθετεῖν, οὐχὶ τοῦ ἐλλαττόνειν. ἂς ἐπιστραφῇ δὲ τὸ ἡμέτερον γράμμα πρὸς τοὺς μοναχούς, ἵνα ἔχωσιν τοῦτο καὶ τοὺς μετὰ σὲ πρὸς ἀσφάλειαν. †

† Ζωη Δουκηνα Φιλανθρωπινη η Μ[υ]ρισκησα. †

*Archetyp. chartac. cum cerea bulla pendenti a filo serico purpureo, cuius effigies est deleta. Flor. nro 74.*

## CVII. 6835—1326, mense decembri, ind. XI.

*Imperator Andronicus III. Palaeologus confirmat possessiones monasterii in insulis Lemno, Lero et Coo tueturque iura eius contra vexationes archiepiscopi Coi.*

† Ἐπεὶ οἱ μοναχοὶ τῆς κατὰ τὴν νῆσον τὴν Πάτμον διακειμένης σεβασμίας μονῆς τῆς βασιλείας μου τῆς εἰς ὄνομα τιμωμένης τοῦ ἁγίου ἐνδόξου πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου ἐζήτησαν καὶ παρεκλήτευσαν τὴν βασιλείαν μου, ἵνα ἐπὶ τοῖς προσοῦσιν αὐτοῖς κτήμασί τε καὶ μετοχίοις καὶ λοιποῖς ἀναστήμασιν, ἃ κατέχουσι διά τε χρυσοβούλλων διαφόρων καὶ προσταγμάτων, ἀλλὰ δὴ καὶ ἀπογραφικῶν ἀποκαταστάσεων καὶ ἑτέρων δικαιωμάτων πορίσωνται καὶ χρυσόβουλλον τῆς βασιλείας μου, ὡς ἂν κατέχωσι ταῦτα καὶ εἰς τὸ ἑξῆς ἀβαρῶς πάντη καὶ ἀτελῶς, καθὼς ταῦτα κατέχουσι μέχρι τοῦ νῦν, ἤγουν τὸ ἐν τῇ νήσῳ Λήμνῳ μετόχιον, τὸ ἐπικεκλημένον ὁ ἅγιος Γεώργιος ὁ Μυροβλύτης, καὶ διακείμενον ἐν τῇ τοποθεσίᾳ τῆς Ἁγίας Εἰρήνης μετὰ τῶν προσόντων αὐτῷ πάντων ἀμπελίων καὶ χωραφίων. τὸ ἕτερον μετόχιον, ὃ ἐκονομάζεται Πτέρις καὶ ἐπικεκλημένον τοῦ τιμίου ταξιάρχου τῶν Ἄνω Δυνάμεων Μιχαὴλ μετὰ τῶν ὄντων ἐκεῖσε δέκα προσκαθημένων, ἀλλὰ δὴ καὶ τῶν ἀμπελίων καὶ χωραφίων καὶ τοῦ περιβολίου τοῦ Διδυμαρίου μετὰ τοῦ χειμερινοῦ ὑδρομύλωνος σὺν τῷ λιμένι τῷ ἀπὸ τῶν κρημνῶν ἕως τοῦ Χυβαδολόγου καλουμένου διήκοντι. τὸν σεβάσμιον καὶ θεῖον ναὸν τὸν εἰς ὄνομα τιμώμενον

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ε.Ν.Φ. Τ.Φ. Π.Ι. ΙΩΑΝΝΙΝΑ 2006

τῆς ὑπεράγνου δεσποίνης καὶ θεομήτορος τῆς Ὁδηγητρίας μετὰ τῶν προσόντων αὐτῷ χωραφίων, τοὺς ἐν τῇ αὐτῇ νήσῳ ἐν διαφόροις χωρίοις εὑρισκομένους εἰκοσιοκτὼ παροίκους, ἐξ ὧν τοὺς μὲν προκατεῖχον, τοὺς δὲ πρὸ ὀλίγου παρέλαβον δι' ἀπογραφικῆς ἀποκαταστάσεως, ὁμοίως καὶ τὰ παραδοθέντα πρὸς αὐτοὺς ὡσαύτως χωράφια, τὰ Βουνάρια λεγόμενα, τὰς Τροχαλέας καὶ τὰ Λιβάδια, ἔτι γε μὴν καὶ τὸ οὕτω πως ἐπονομαζόμενον τοῦ Δράκοντος, πρὸς τούτοις καὶ τὰ περὶ τὴν νῆσον τὴν Λέρον διακείμενα μονίδρια, τό τι τοῦ Παρθενίου καὶ τοῦ Τεμενίου ἐπονομαζόμενα, μετὰ τῶν προσόντων αὐτοῖς παροίκων, ἅτινα καὶ αὐτὰ διὰ τῶν εἰρημένων ὁμοίως χρυσοβούλλων κατέχουσιν, ὡσαύτως καὶ τὰ εἰς τὴν νῆσον τὴν Κῶ τρία μετόχια, τό τε Λαποντίου ἐπιλεγόμενον, τὸ τοῦ δεσπότου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τὸ Ἄλσος μετὰ τῶν προσόντων αὐτοῖς ὑδρομυλώνων τε καὶ χωραφίων καὶ τοῦ ποταμοῦ σὺν τῷ τοπίῳ τῷ ὄντι ἐντὸς τοῦ κάστρου Πυλίου, ἐφ' ὧν ἀνήγειρεν οἰκήματα ὁ ἱερώτατος ἀρχιεπίσκοπος τῆς αὐτῆς νήσου Κῶ παρὰ γνώμην καὶ θέλησιν τῶν τοιούτων μοναχῶν, πρὸς τούτοις ἔτι καὶ τὸν εἰς τὸ χωρίον τοῦ Ἐπανιδίου πάροικον Νικόλαον τὸν Μαυρολέοντα, τὴν τοιαύτην αὐτῶν ζήτησιν καὶ παράκλησιν προσδεξαμένη ἡ βασιλεία μου τὸν παρόντα χρυσόβουλλον λόγον ἐπιχορηγεῖ αὐτοῖς, δι' οὗ προστάσσει καὶ διορίζεται, ὡς ἂν τὰ τοιαῦτα μετόχια καὶ κτήματα καὶ λοιπὰ ἀναστήματα μετὰ τῶν ἐν αὐτοῖς παροίκων καὶ προσκαθημένων κατέχῃ ἡ τοιαύτη σεβασμία μονὴ ἀνενοχλήτως καὶ ἀδιασείστως, ἔτι δὲ ἀναφαιρέτως καὶ ἀναποσπάστως καὶ τὴν ἐξ αὐτῶν πᾶσαν καὶ παντοίαν ἀποφέρηται πρόσοδον καὶ οὐδὲν εὑρίσκῃ ἐπὶ τῇ κατοχῇ καὶ νομῇ καὶ τοῖς δικαίοις πᾶσιν αὐτῶν καταδυναστείαν τινὰ ἢ ἀδικίαν καὶ διενόχλησιν, οὔτε παρὰ τῶν κατὰ καιροὺς κεφαλατικευόντων ἐκεῖσε, οὔτε παρὰ τῶν τὰ δημόσια διενεργούντων ἢ τοπικῶν καὶ ἄλλων τινῶν, ἀλλὰ διατηρῶνται τὰ προσόντα πάντα τῇ τοιαύτῃ σεβασμίᾳ μονῇ μετόχιά τε καὶ κτήματα μετὰ τῶν ἐν αὐτοῖς παροίκων καὶ προσκαθημένων ἀνώτερα πάσης ἡστινοσοῦν ἀδικίας καὶ καταδυναστείας, ὡσαύτως δὲ καὶ ἀπὸ τῶν ἀπαιτουμένων ἐκεῖσε συνήθων ἀπαιτήσεων, τοῦ τε κεφαλαίου τῆς σιταρκίας, τοῦ τέλους τῆς παρθενοφθορίας, τοῦ βασιλικοῦ τέλους λεγομένου, τοῦ μηνιατικοῦ, τοῦ ἁλατοτέλους, τοῦ ζευγαρατικίου καὶ τῶν ἄλλων τῶν τοιούτων δημοσιακῶν ἢ τῶν ἄλλων ἀπαιτημάτων. ἐπεὶ δὲ ἀνέφερον οἱ τοιοῦτοι μοναχοὶ καὶ ὅτι ὁ ἱερώτατος ἀρχιεπίσκοπος τῆς δηλωθείσης νήσου Κῶ πειρᾶται ἀπαιτεῖν αὐτοὺς τὸ λεγόμενον κανονικόν, τὸ μνημόσυνον καὶ ἄλλα τινά, ἅπερ οὐδὲν εἶχον συνήθως διδόναι, καὶ παρεκάλεσαν καὶ περὶ τούτου, διορίζεται καὶ περὶ τούτου ἡ βασιλεία μου, ὡς ἂν διαμένωσι καὶ ὑπὲρ τούτων ἀνενόχλητοι. ὅθεν καὶ τῇ ἰσχύϊ καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλου λόγου

τῆς βασιλείας μου οὐδὲ οἱ μέλλοντες ποιῆσαι ἀπογραφικὴν ἀποκατάστασιν ἐν ταῖς δηλωθείσαις νήσοις, ἔνθα εὑρίσκονται τὰ προσόντα τῇ τοιαύτῃ σεβασμίᾳ μονῇ μετόχιά τε καὶ λοιπὰ κτήματα, ἔχουσιν ἄδειαν εἰσελθεῖν καὶ ποιῆσαι ἐν αὐτοῖς τὴν τυχοῦσαν ἀναθεώρησιν καὶ ἀποκατάστασιν, ἀλλὰ καθέξει καὶ νεμηθήσεται ταῦτα πάντα ἀνενόχλητα καὶ ἀδιάσειστα, ἔτι ἀναφαίρετά τε καὶ ἀναπόσπαστα· ἐπὶ τούτῳ γὰρ γέγονε ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου, ἀπολυθεὶς κατὰ μῆνα δεκέμβριον τῆς ἐνισταμένης ἑνδεκάτης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ τριακοστοῦ πέμπτου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος. †

† Ἀνδρόνικος, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, ὁ Παλαιολόγος. †

*Archetyp. membr. Flor. nro 37. Exemplar ibid. nro 38. Error in indictione.*

## CVIII. 6837—1329, mense ianuario, ind. XII.

*Imperator Andronicus III. Palaeologus monasterio confirmat omnes possessiones.*

† Ἐπεὶ οἱ ἐνασκούμενοι μοναχοὶ τῇ κατὰ τὴν νῆσον τὴν Πάτμον σεβασμίᾳ μονῇ τῇ εἰς ὄνομα τιμωμένῃ τοῦ ἐν ἀποστόλοις ἠγαπημένου τῷ σωτῆρι Χριστῷ παρθένου Ἰωάννου τοῦ Θεολόγου ἐνεφάνισαν εἰς τὴν βασιλείαν μου χρυσόβουλλον τοῦ ἁγίου μου αὐθέντου καὶ βασιλέως, τοῦ πάππου μου, προστάσσον καὶ διοριζόμενον κατέχεσθαι παρὰ τῆς κατ᾽ αὐτοὺς τοιαύτης σεβασμίας μονῆς πάντα τὰ προσόντα αὐτῇ καὶ κατὰ μέρος ἐν αὐτῷ τῷ χρυσοβούλλῳ διαλαμβανόμενα ἀνενοχλήτως καὶ ἀδιασείστως καὶ ἀναφαιρέτως καὶ ἀναποσπάστως, ἃ δὴ καὶ ἔχουσιν οὕτως· ἡ δηλωθεῖσα νῆσος ἡ Πάτμος κατὰ τὴν καθόλου δεσποτείαν καὶ κυριότητα, ὡς εὑρίσκεται κατεχομένη παρ᾽ αὐτῶν τῶν μοναχῶν, τὰ περὶ αὐτὴν δύο νησίδια, τὸ τῆς Λειψοῦς καὶ τὸ Ἀγαθονήσιον λεγόμενα· περὶ τὸν Μαίανδρον μετόχιον ὁ Πύργος μετὰ τῶν προσόντων αὐτῷ δικαίων καὶ τὸ πλησίον τούτου χωράφιον τὸ τῆς Γωνίας ἐπονομαζόμενον, ὡσεὶ ζευγαρίων ἐν τεσσάρων. μετόχιον ἐν τῇ νήσῳ Κῷ εἰς ὄνομα τιμώμενον τῆς πανυπεράγνου δεσποίνης καὶ θεομήτορος καὶ ἐπικεκλημένον τῶν Σπονδῶν μετὰ τῶν προσόντων αὐτῷ δικαίων, ἤγουν τῶν χωραφίων τῶν ἐν τοῖς Περιπάτοις, τοῖς Πετρωρείοις καὶ τοῖς τῆς Ἀντιμαχίας. ἔτι δὲ καὶ τοῦ μύλωνος τοῦ περιελθόντος τῇ μονῇ ἐκ προσενέξεως τοῦ Διογένους καὶ διακειμένου ἐν τοῖς τοῦ Κυβερμαρίου καὶ τῶν ἐν τῷ αὐτῷ μετοχίῳ προσκαθημένων ξένων καὶ τῷ δημοσίῳ ἀνεπιγνώστων. ἐν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. Γ. Δ. της Κ. τ.Π.
ΙΩΑΝΝΙΝΑ 2006

τῇ αὐτῇ νήσῳ Κῷ ἕτερον μετόχιον λεγόμενον τὸ τοῦ Ἄλσους μετὰ τῶν προσόντων αὐτῷ δικαίων, ὃ δὴ ἦν μὲν πάλαι ποτὲ τῆς μονῆς, προσεκυρώθη δ' αὐτῇ καὶ διὰ τιμίου πατριαρχικοῦ γράμματος· ἕτερον μετόχιον εἰς ὄνομα τιμώμενον τοῦ δεσπότου σωτῆρος Χριστοῦ προσὸν τῇ μονῇ διὰ γράμματος τοῦ ἁγιωτάτου πατριάρχου, τοῦ κυροῦ Ἀρσενίου ἐκείνου. τὰ ἐν τῇ νήσῳ Λέρνῳ δύο μετόχια τῆς αὐτῆς σεβασμίας μονῆς, ὧν τὸ μὲν ἓν ἐπονομάζεται Παρθένιον, τὸ δ' ἕτερον Τεμένεια, μετὰ τῶν προσόντων αὐτοῖς ἀνέκαθεν δικαίων καὶ τῶν ἐν αὐτοῖς προσκαθημένων παροίκων καὶ δουλευτῶν. καὶ εἰς τὸ Φύγελλον μετόχιον τὸ εἰς ὄνομα τιμώμενον τοῦ μεγαλομάρτυρος ἁγίου Γεωργίου. ἐζήτησαν δὲ τὴν βασιλείαν μου οἱ εἰρημένοι μοναχοὶ πορίσασθαι τούτων χάριν καὶ χρυσόβουλλον αὐτῆς, ἡ βασιλεία μου εὐμενῶς προσηκαμένη τὴν τοιαύτην αὐτῶν ζήτησιν ἐπιχορηγεῖ αὐτοῖς καὶ ἐπιβραβεύει τὸν παρόντα χρυσόβουλλον λόγον, δι' οὗ προστάσσει καὶ διορίζεται κατέχειν καὶ εἰς τὸ ἑξῆς τὴν διαληφθεῖσαν σεβασμίαν μονὴν πάντα τὰ ἀνωτέρω κατὰ μέρος εἰρημένα καὶ ἀνέκαθεν προσόντα αὐτῇ ἀνενοχλήτως πάντῃ καὶ ἀδιασείστως, ἔτι τε ἀναφαιρέτως καὶ ἀναποσπάστως κατὰ τὴν περίληψιν τοῦ τε χρυσοβούλλου τοῦ ἁγίου μου αὐθέντου καὶ βασιλέως, τοῦ πάππου μου, καὶ τῶν ἑτέρων δικαιωμάτων τῶν προσόντων αὐτῇ καὶ καθὼς εὑρίσκεται κατέχουσα ταῦτα καὶ μέχρι τοῦ νῦν. ὅθεν καὶ τῇ δυνάμει καὶ ἰσχύι τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου καθέξει δὴ καὶ νεμηθήσεται ταῦτα πάντα ἡ δηλωθεῖσα σεβασμία μονὴ κατά τε τὸν ἀνωτέρω εἰρημένον τρόπον καὶ ἐκτὸς πάσης ἐπηρείας καὶ ὀχλήσεως οὐδενὸς τῶν ἁπάντων, οὔτε τῶν δημοσίων, οὔτε τῶν ἄλλων, ἕξοντος ἄδειαν ἢ τολμήσοντος ὅλως ἐπάγειν αὐτοῖς ἐπήρειαν καὶ λύμην ἢ ἄλλην τινὰ βλάβην καὶ κατατριβὴν καὶ ἐπίθεσιν. βούλεται γὰρ δὴ καὶ θεσπίζει ἡ βασιλεία μου κατέχεσθαι ταῦτα πάντα τὰ ἀνωτέρω εἰρημένα κατὰ μέρος παρ' αὐτῆς τῆς σεβασμίας μονῆς οὕτως, καθὰ δὴ προστάσσει καὶ διορίζεται· τούτου γὰρ χάριν ἐγένετο καὶ ἐπεχορηγήθη τῇ διαληφθείσῃ σεβασμίᾳ μονῇ καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου ἀπολυθεὶς κατὰ μῆνα ἰαννουάριον τῆς ἐνισταμένης δωδεκάτης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ τριακοστοῦ ἑβδόμου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος. †

† Ἀνδρόνικος, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, ὁ Παλαιολόγος. †

*Archetyp. membr. Flor. nro 39. Aurea bulla deest. Sub nro 40. exstat aliud exemplar membr. adulteratum. Flor. de eo haec habet:* Ἕτερον ὅμοιον ἐν μεμβράνῃ, καίτοι δὲ φέρον τὴν ὑπογραφὴν τοῦ βασιλέως, ἐμοὶ γοῦν δοκεῖ κίβδηλον

Ε.Υ.Α της Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

εἶναι, ὡς ἔχων ταύτην τὴν προσθήκην· τὰ περὶ αὐτὴν νησίδια . . . καὶ Κρουσίους καὶ . . . . λεγόμενα, ἥτις ἐν τῷ ἀνωτέρω οὐκ ἀναγινώσκεται.

## CIX. 6839—1331, mense iulio, ind. XIV.

*Imperator Andronicus III. Palaeologus confirmat possessiones et exemptiones monasterii recensetque nomina inquilinorum tueturque eius iura et libertates contra episcopos Lemni et Coi.*

† Ἐπεὶ οἱ μοναχοὶ τῆς κατὰ τὴν νῆσον τὴν Πάτμου διακειμένης σεβασμίας μονῆς τῆς βασιλείας μου τῆς εἰς ὄνομα τιμωμένης τοῦ ἁγίου ἐνδόξου, πανευφήμου ἀποστόλου, παρθένου, ἐπιστηθίου, ἠγαπημένου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου ἐζήτησαν καὶ παρεκάλεσαν τὴν βασιλείαν μου, ἵνα ἐπὶ τοῖς κτήμασι καὶ μετοχίοις καὶ ἀναστήμασιν αὐτῶν, ἅτινα κέκτηνται διὰ χρυσοβούλλων λόγων διαφόρων καὶ προσταγμάτων καὶ ἀπογραφικῶν ἀποκαταστάσεων καὶ ἑτέρων δικαιωμάτων, πορίσωνται καὶ χρυσόβουλλον τῆς βασιλείας μου καὶ κατέχωσι ταῦτα καὶ εἰς τὸ ἑξῆς ἀβαρῶς πάντη καὶ ἀτελῶς, καθὼς κατέχουσι ταῦτα μέχρι τοῦ νῦν, ἤγουν τὸ [ἐν τῇ νήσῳ Λήμνῳ μετόχιον τὸ εἰς ὄνομα τιμώμενον τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου τοῦ Μυροβλύτου καὶ διακείμενον ἐν τῇ τοποθεσίᾳ τῆς ἁγίας Εἰρήνης μετὰ τῶν προσόντων αὐτῷ πάντων ἀμπελίων καὶ χωραφίων. τὸ ἕτερον μετόχιον τὸ εἰς ὄνομα τιμώμενον τοῦ τιμίου ταξιάρχου τῶν Ἄνω Δυνάμεων Μιχαὴλ καὶ ἐπικεκλημένον τὴν Πτέριν μετὰ τῶν ὄντων ἐκεῖσε ἕνδεκα προσκαθημένων, ἀλλὰ δὴ καὶ τῶν ἀμπελίων καὶ χωραφίων καὶ τοῦ περιβολίου τοῦ Διδυμαρίου μετὰ τοῦ χειμερινοῦ ὑδρομύλωνος καὶ τοῦ λιμένος τοῦ ἀπὸ τῶν κρημνῶν ἕως τοῦ Χυβαδίου καλουμένου διήκοντος. τὸν σεβάσμιον καὶ θεῖον ναὸν τὸν εἰς ὄνομα τιμώμενον τῆς ὑπεράγνου δεσποίνης καὶ θεοτόκου τῆς Ὁδηγητρίας μετὰ τῶν προσόντων αὐτῷ χωραφίων. τοὺς ἐν τῇ αὐτῇ νήσῳ ἐν διαφόροις χωρίοις εὑρισκομένους παροίκους, ἐξ ὧν τοὺς μὲν κατεῖχον, τοὺς δὲ ἀνεδέξαντο πρὸ ὀλίγου δι' ἀπογραφικῆς ἀποκαταστάσεως. ὁμοίως καὶ τὰ παραδοθέντα αὐτοῖς χωράφια, τὰ Βουνάρια λεγόμενα, τὰς Τροχαλέας καὶ τὰ Λιβάδια· ὀνομάζονται δὲ οἱ τοιοῦτοι πάροικοι· ὅ τε Νικόλαος ὁ Μαυρολέων, Γεώργιος ὁ Κουρούπης, Θεόδωρος ὁ Λαχανᾶς, ὁ Ἰατρόπουλος, ὁ Θεοδωράκης μετὰ τοῦ γαμβροῦ αὐτοῦ, Ἄννα ἡ Λέχαινα, Γεώργιος τῆς Τζαγγαρίνης, οἱ δύο υἱοὶ τοῦ Βραχνοῦ, Μιχαὴλ ὁ Λωράδων, Δημήτριος τῆς Καλάννας, ἡ Βαβίλια, Εὐστράτιος ὁ Δαλασηνός, ὁ Ἀργυρός, Νικόλαος ὁ Γουλιμᾶς, Ἰωάννης ὁ Μουρτατόπουλος, ὁ Κολοβᾶς, Ξένος ὁ Ζακέτος, Δημήτριος ὁ Πενταφουστάνης, ὁ Σταμάτης, τοῦ Συμεὼν οἱ παῖδες, Θεόδωρος ὁ Σκορπιώτης, ἡ Κονίδαινα, Εἰρήνη ἡ Καστα-

λιανή, ὁ γαμβρὸς τοῦ Λαχανᾶ, Θεόδωρος ὁ Καρώτης, ὁ υἱὸς τοῦ Μακρονικολάου. ὀνομάζονται δὲ ὁμοίως καὶ οἱ ἄνωθεν δηλωθέντες ἕνδεκα προσκαθήμενοι καὶ αὐλῖται τοῦ εἰρημένου μετοχίου τῆς Πτέρης· ὁ Ντζιανῆς, ὁ Μπονοφάτζος μετὰ τοῦ προγόνου αὐτοῦ, ὁ Σιλιγόπουλος μετὰ τοῦ γαμβροῦ αὐτοῦ, Ἰωάννης ὁ Βίγλης, Δημήτριος τῆς Καλογραίας, ὁ Ἀρχαγγελιηνός, Κωνσταντῖνος ὁ Νιάννης, Μανουὴλ ὁ γαμβρὸς τοῦ Ἀρβάζου, ὁ Κατζαρός, Ἰωάννης ὁ Μουντᾶς, Ἰωάννης ὁ Ντζακέτος. τὰ περὶ τὸν αὐτὸν τόπον ἐσωπερίβολα τῆς Εἰρήνης, τοῦ Χηναδίτου καὶ τῆς ἀδελφῆς αὐτῆς Σοφίας. τὰ ἐν τῇ τοποθεσίᾳ τῆς Πηγάδος χωράφια μετὰ τῶν ἐν αὐτῇ τριῶν συκαμινέων καὶ τῶν ἑτέρων χωραφίων τοῦ Σκαλομήνη· ἔτι γε μὴν καὶ τὰ ἕτερα χωράφια τοῦ Δράκοντος λεγόμενα μετὰ τῆς νομῆς καὶ περιοχῆς αὐτῶν. πρὸς τούτοις καὶ τὰ ἐν τῇ νήσῳ Λέρῳ διακείμενα μονύδρια, τό τε τοῦ Παρθενίου καὶ τοῦ Τεμενίου ἐπιλεγόμενα, μετὰ τῶν προσόντων αὐτοῖς παροίκων, ἅτινα κέκτηνται διὰ τῶν εἰρημένων καὶ προσόντων αὐτοῖς χρυσοβούλλων. ὡσαύτως καὶ τὰ ἐν τῇ νήσῳ Κῷ τρία μετόχια, τό τε τοῦ Ἀσποντίου ἐπιλεγόμενον, τὸ εἰς ὄνομα τιμώμενον τοῦ δεσπότου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τὸ Ἄλσος μετὰ τῶν προσόντων αὐτοῖς ὑδρομυλώνων καὶ χωραφίων καὶ τοῦ ποταμοῦ σὺν τῷ τοπίῳ τῷ ἐν τῷ κάστρῳ Πυλίῳ, ἐφ' ᾧ ἀμετόχως καὶ παρὰ γνώμην τῶν ἀπὸ τῆς τοιαύτης σεβασμίας μονῆς μοναχῶν ἀνήγειρεν οἰκήματα ὁ ἱερώτατος ἀρχιεπίσκοπος τῆς αὐτῆς νήσου Κῶ. πρὸς τούτοισπερ καὶ τὸν εἰς τὸ χωρίον τὸ Ῥεπανίδιον πάροικον Νικόλαον τὸν Μαυρολέοντα· τὴν τοιαύτην αὐτῶν ζήτησιν καὶ παράκλησιν προσδεξαμένη ἡ βασιλεία μου τὸν παρόντα χρυσόβουλλον λόγον ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει αὐτοῖς, δι' οὗ προστάσσει καὶ διορίζεται, ὡς ἂν τὰ τοιαῦτα ἅπαντα καὶ κατὰ μέρος ἄνωθεν δηλωθέντα μετόχια καὶ κτήματα καὶ λοιπὰ ἀναστήματα μετὰ τῶν ἐν αὐτοῖς παροίκων καὶ προσκαθημένων καὶ τῶν ἀπ' αὐτῶν ὀφειλομένων τελεσμάτων καὶ ἑτέρων παροικικῶν δικαίων κατέχῃ καὶ νέμηται ἡ τοιαύτη σεβασμία μονὴ ἀνενοχλήτως καὶ ἀδιασείστως, ἔτι δὲ ἀναφαιρέτως καὶ ἀναποσπάστως καὶ τὴν ἐξ αὐτῶν πᾶσαν καὶ παντοίαν ἀποφέρηται καὶ ἀποκερδαίνῃ πρόσοδον καὶ οὔτε παρὰ τοῦ μέρους τῶν κεφαλατικευόντων κατὰ καιροὺς ἐν ταῖς τοιαύταις νήσοις, οὔτε παρὰ τῶν τὰ τοῦ δημοσίου διενεργούντων ἢ τοπικῶν ἐκεῖσε, οὔτε μὴν παρά τινος ἑτέρου τῶν ἁπάντων εὑρίσκῃ ἐπὶ τούτοις τὴν οἱανδήτινα ἐπήρειαν ἢ διενόχλησιν, ἀλλὰ διατηρῶνται ταῦτα πάντα τὰ ἀναστήματα τῇ τοιαύτῃ σεβασμίᾳ μονῇ, ἔτι δὲ οἱ ἐν αὐτοῖς πάροικοι καὶ προσκαθήμενοι ἀνώτεροι πάσης ἡστινοσοῦν ἀδικίας καὶ περιφρονήσεως καὶ κατατριβῆς, ὡσαύτως καὶ ἀπὸ τῶν ἀπαιτουμένων ἐκεῖσε τοπικῶς συνήθων ἀπαιτήσεων τοῦ τε κεφαλαίου τῆς σιταρκίας, τοῦ ἀέρος, τοῦ ἀβιωτικίου, τῆς παρθενοφθορίας, τοῦ ξενοτέλους

λεγομένου, τοῦ μηνιατικοῦ, τοῦ ἁλατοτέλους, τοῦ ζευγαρατικίου καὶ τῶν ἄλλων τῶν τοιούτων δημοσιακῶν ζητημάτων καὶ ἀπαιτημάτων. ἐπεὶ δὲ ἀνέφερον οἱ τοιοῦτοι μοναχοὶ καὶ ὅτι οἱ ἱερώτατοι ἀρχιεπίσκοποι, ὅ τε Λήμνου καὶ ὁ Κῶ, πειρῶνται ἀπαιτεῖν ἀπὸ τῶν τοιούτων μετοχίων τὸ λεγόμενον κανονικόν, τὸ μνημόσυνον καὶ ἄλλα τινά, ἅπερ οὐδὲν εἶχον δίκαιον ἀποδιδόναι πρὸς αὐτούς, καὶ παρεκάλεσαν καὶ περὶ τούτου τὴν βασιλείαν μου, διορίζεται καὶ περὶ τούτου ἡ βασιλεία μου, ἵνα διαμένωσι καὶ παρὰ τῶν τοιούτων ἀρχιερέων ὑπὲρ τῶν δηλωθέντων ἀπαιτημάτων ἀνενόχλητοι καὶ ἀδιάσειστοι. ὅθεν τῇ ἰσχύι καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου οὐδὲ οἱ μέλλοντες ποιῆσαι ἀπογραφικὴν ἀναθεώρησιν καὶ ἀποκατάστασιν ἐν ταῖς δηλωθείσαις νήσοις, ἔνθα εὑρίσκονται τὰ προσόντα τῇ τοιαύτῃ σεβασμίᾳ μονῇ μετόχιά τε καὶ λοιπὰ κτήματα, ἕξουσιν ἄδειαν εἰσελθεῖν καὶ ποιῆσαι ἐν αὐτοῖς τὴν τυχοῦσαν ἀναθεώρησιν ἢ ἀποκατάστασιν, ἀλλὰ καθέξει καὶ νεμηθήσεται ταῦτα πάντα ἀνενόχλητα καὶ ἀδιάσειστα, ἔτι γε μὴν ἀναφαίρετα καὶ ἀναπόσπαστα καὶ ἀνώτερα πάσης καὶ παντοίας κατατριβῆς καὶ περιφρονήσεως καὶ ἀδικίας· ἐπὶ τούτῳ γὰρ γέγονε καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου ἀπολυθεὶς κατὰ μῆνα ἰούλιον τῆς ἐνισταμένης τεσσαρεσκαιδεκάτης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ τριακοστοῦ ἐννάτου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος. †

† Ἀνδρόνικος, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, ὁ Παλαιολόγος. †

***Archetyp. membr. Flor. nro 41. editum est in libro:*** Ἱερὰ ἀκολουθία τοῦ ἁγίου πατρὸς ἡμῶν Χριστοδούλου τοῦ θαυματουργοῦ ἐκδ. ὑπὸ Παναγιώτου καὶ Μιχαήλου Καλλιγᾶ. Ἔκδοσις β΄. ἐν Ἑρμουπόλει. ***1843. Exemplar exstat in codice histor. gr. 47. bibliothecae palatinae Vindobonensis, ex quo edidit Iosephus Müller (in actis caes. acad. litt. Sitzungsberichte 1853, vol. IX, p. 411 sqq.) et repetiit I. Zachariae a Lingenthal IGR. III. p. 692—694, quarum editionum varias lectiones vide in appendice. Iterum edidit I. Sakkelion in periodico inscripto*** Πανδώρα ***Athenis 1865, tom. XV. p. 358. Conf. Acta Patriarchatus Constant. II. p. 159.***

## CX. Sine anno, mense septembri, ind. V.

***Imperator praecipit duci Lemni, ut tradat monasterio colonos illi donatos in hac insula.***

† Οἰκεῖε τῇ βασιλείᾳ μου, δοὺξ καὶ κεφαλὴ τῆς νήσου Λήμνου, κῦρ Ἰωάννη Βαλσαμών. πρὸ καιροῦ ὥρισεν ἡ βασιλεία μου καὶ ἀπελύθη πρόσταγμα

πρὸς τὸν πανσέβαστον σεβαστὸν οἰκεῖον αὐτῇ τὸν Τουρακήν, εὑρισκόμενον εἰς δοῦκα καὶ κεφαλήν, ἔτι δὲ καὶ ἀπογραφέα τῆς τοιαύτης νήσου Λήμνου, καὶ παραδέδωκε πρὸς τὴν κατὰ τὴν Πάτμον σεβασμίαν μονὴν τὴν εἰς ὄνομα τιμωμένην τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου γῆν ὅσην καραδέδωκε, διὰ κυβέρνησιν δὲ ταύτης ἔταξε καί τινας τῶν ἐν τῇ τοιαύτῃ νήσῳ δημοσιακῶν παροίκων, ἵνα διδῶσι πρὸς τοὺς μοναχοὺς τοὺς μέλλοντας κατασπερεῖν τὴν ῥηθεῖσαν γῆν ἀγγαρείας εἰς τὰς ἐργασίας αὐτῶν, οἱ παρόντες δὲ μοναχοὶ ἀνέφερον, ὡς ἀπὸ τῶν ὅλων μοναχῶν τῆς κατ' αὐτοὺς τοιαύτης μονῆς, ὅτι τῷ λόγῳ, ὡς οὐδὲ ἔχουσιν αὐτοὺς εἰς τελείαν παροικίαν, οὐδὲ πείθονται διδόναι τὰς ἀποταχθείσας δίδοσθαι παρ' αὐ[τῶν] πρὸς τούτους ἀγγαρείας, καὶ παρεκλήτευσαν, ἵνα δοθῶσιν οἱ τοιοῦτοι πάροικοι πρὸς τὴν δηλωθεῖ[σαν σεβασμίαν μονήν], οἵτινες καὶ προσκάθ[ηνται εἰς] τὰ χωρία, τό τε Νεοχώριον, τὸ τοῦ [Λαγω]-πατίου, τὸ Ῥεπανίδιον, τὸ Πτέριν καὶ τ[ὸ τοῦ Ζυμ]ατᾶ, ὄντες τὸν ἀριθμὸν εἰκοσιτρεῖς καὶ τελοῦντες πρὸς τ[ὸ μέρος] τοῦ δημοσίου ὑπέρπυρα τριάκοντα τέσσαρα. ἡ βασιλεία μου τὴν παράκλησιν αὐτῶν προσδεξαμένη ἔχει θέλημα καὶ διορίζεταί σοι, ὡς ἂν παραδώσεις πρὸς τὴν εἰρημένην σεβασμίαν μονὴν τοῦ ἁγίου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου τοὺς δηλωθέντας παροίκους ἐπὶ τῷ κατέχειν αὐτοὺς καὶ λαμβάνειν ἐξ αὐτῶν τοὺς ἐν αὐτῇ μοναχοὺς τὸ ῥηθὲν τέλος καὶ τὰ ἀπὸ τούτων ἀνήκοντα αὐτοῖς λοιπὰ παροικιακὰ δίκαια μὴ εὑρίσκοντας ἐπὶ τῇ κατοχῇ τούτων παρά τινος διασεισμὸν ἢ διενόχλησιν οἱανδήτινα. καὶ ποιήσεις κατὰ τὸν παρόντα ὁρισμόν, ὃν καὶ ἀντίστρε[φον] πρὸς αὐτοὺς δὴ τοὺς μοναχοὺς δι' ἀσφάλειαν. μηνὶ σεπτεμβρίῳ, ἰνδικτιῶνος ε'. †

*Archetyp. chart. Flor. nro 91. Mensis et indictio scripta sunt cinnabaro. Tabula videtur tribuenda Andronico III. et anno 1336 (6845).*

## CXI. Sine anno, mense martio, ind. VI.

*Imperator confirmat monasterio possessiones in insulis Lemno et Lero.*

† Ἐπεὶ οἱ μοναχοὶ τῆς κατὰ τὴν Πάτμον σεβασμίας μονῆς τῆς εἰς ὄνομα τιμωμένης τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου ἀνέφερον, ὅτι κέκτηνται εἰς τὴν νῆσον Λῆμνον μετόχιον ἐπ' ὀνόματι τιμώμενον τοῦ τιμίου ἀρχιστρατήγου τῶν Ἄνω Δυνάμεων Μιχαήλ, ᾧτινι πρόσεισιν ἀμπέλιά τινα, χω[ράφια καὶ ὑδρομύ]λων χειμερινός, περιβόλιον καὶ πάροικοι, ἐφ' οἷς ἐγένετο αὐτῷ καὶ ἀπογραφικὴ σιγιλλιώδης ἀποκατάστασις. ὁμοίως πρόσεισι τούτῳ δὴ τῷ μετοχίῳ διὰ προστάγματος καὶ ἕτεροι πάροικοι εὑρισκόμενοι εἰς τὸ χωρίον τὸ

ΕΠΙΣΤΗΜΟΝΙΚΗ ΕΠΕΤΗΡΙΣ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΙΩΑΝΝΙΝΑ 2006